## ΚΑΙΝΗ ΥΠΟΘΕΣΙΣ ΤΗΣ ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΛΥΣΙΣΤΡΑΤΗΣ.

Η Λυσιστράτη τὰς τῶν Ἀθηναίων, καὶ τὰς τῶν Βοιωτῶν, καὶ τῶν Πελοποννησίων γυναῖκας εἰς ἐκκλησίαν συγκαλεῖ. καὶ πρῶτον μὲν τοῦ πολέμου τὸ μέγεθος, τὰς συμφοράς, καὶ τοὺς κινδύνους αὐταῖς ἀποδεικνύει. ἔπειτα δὲ τὸν τρόπον δηλοῖ τοῦ καταπαῦσαι τὸν πόλεμον, καὶ εἰρήνην ποιεῖσθαι. καὶ γὰρ ὑπὸ τοὺς αὐτοὺς χρόνους ἡ Ἑλλὰς σχεδὸν ἅπασα δεινοτάτοις πολέμοις ἐκακοῦτο. ταύτης δὲ τῆς συμβουλῆς περὶ τῆς εἰρήνης οὔσης χαλεπωτάτης, καὶ τῶν γυναικῶν πολλάς, καὶ διαφόρους γνώμας περὶ τούτου προσενεγκουσῶν, καὶ τέλος τῇ συμβουλῇ οὐκ ἐπιτιθεμένου, ἀλλὰ τοῦ χρόνου μάτην ἀναλισκομένου, τὸ τελευταῖον αἱ γυναῖκες κατὰ τὴν Λυσιστράτης παραίνεσιν, καὶ γνώμην ἐγνώκασι τοῖς ἑαυτῶν ἀνδράσιν οὔποτε συγκοιμᾶσθαι πρὶν ἢ τοὺς Ἀθηναίους εἰρήνην πρὸς τοὺς Λακεδαιμονίους ποιήσασθαι. ὅτι δὲ τοῦτο ἀδύνατον ἐδόκει, τὸ τὰς γυναῖκας οἴκοι ἀεὶ μενούσας τοῖς ἑαυτῶν ἀνδράσι μὴ συγκοιμᾶσθαι, καὶ συνεῖναι θέλειν, ἀλλ᾽ αὐτοὺς ἀπώσασθαι, διὰ τοῦτο τὴν Ἀκρόπολιν κατέλαβον, ἐν ᾗ τῆς πόλεως ἦν τὰ χρήματα. Οἱ δὲ Ἀθηναῖοι τὴν Ἀκρόπολιν μεγάλῃ δυνάμει πολιορκεῖν ἐπιχειρήσαντες, καὶ ἐκπολιορκεῖν οὐ δυνησάμενοι, τὰ μὲν, διὰ τὴν ἀνέλπιστον χρημάτων ἀπορίαν, τὰ δὲ διὰ τὴν ἰδίων γυναικῶν ἐπιθυμίαν, καὶ ἔρωτα, ὃς αὐτοὺς ἔκαιεν, οὕτως ἀναγκασθέντες τὸν πόλεμον καταλύουσι, καὶ εἰρήνην πρὸς τοὺς Λακεδαιμονίους ποιοῦνται.

## HYPOTHESIS, VEL ARGVMENTVM, VT VOCANT LYSISTRATÆ, FABVLÆ ARISTOPHANICÆ Græcis Iambis & in Acrostichidem facta. per Q. Sep. Fl. Chr.

Λ λίαν λακώνων ἠδ᾽ ἀθηναίων πόλεις
Υ ὑφ᾽ ὅλμον ἄρδην δηθάκις τετριμμένας
Σ σὺν ταῖς γυναιξὶν ἑλλάδος λυσιστράτη
Ι ἰδοῦσα κ᾽ οἰκτείρασα ξυμβουλεύεται.
Σ συνώμοσαν δ᾽, ἀεί γ᾽ ἀπαυστρότοις μένειν,
Τ τούς τ᾽ ἄνδρας ἕξειν ἐκποδὼν ἑστυκότας,
Ρ ῥιψάσπις εἰ μὴ πᾶσιν εἰρήνη φανῇ.
Α ἀκρόπολιν οὕτως εἷλον ἠδὲ χρήματα
Τ τὰ πάντα, καὶ γέροντας ἐχθροὺς ἔπλυναν.
Η ἥσθη δ᾽ ἄρ᾽ εὔφρον κύπρις ἐν διαλλαγαῖς.

## ALIVD ARGVMENTVM LATINIS IAMBIS AB EODEM.

*L ongo duello Græciæ quum lumina*
*V rbes Athenæ & Sparta se colliderent*
*S ecessionem fœminis Lysistrata*
*I ndicit vt de publico deliberent.*
*S parso inde libant atque coniurant mero*
*T andem, femur se nemini applicassere,*
*R edire Græci ni velint in gratiam:*
*A rx occupatur atque Thesaurus, senes*
*T umultuantes cum Probulo nil agunt:*
*A t cum Lacone Pax fit, & redit Venus.*

Τὰ τοῦ